UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Leontio Episcopo. 451.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Λεοντίῳ ἐπισκόπῳ. υνα.

Οὐ χρή, θαυμάσιε, ἀεὶ τοῖς ἀνέμοις ὑπείκειν, ἀλλ' ἔστιν ὅτε καὶ ἀντίπρωρον ταῖς καταιγίσιν ἀνθίστασθαι, καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων ἐκκρούεσθαι, μήποτε μεγαλυνόμεναι αἱ λαίλαπες, καὶ τῶν οἰάκων ἡμᾶς ἐκτινάξωσι, καὶ μερισμὸν τοῦ σκάφους ἐργάσωνται πολυσκέδαστον. ἀνθίστασο τοίνυν τῷ νῦν ταράσσοντι κλύδωνι, εἰ καὶ τῇ κακοτέχνῳ πραότητι, ὡς πρὸς λιμένα τὴν ἑαυτοῦ προκαλεῖται κακόνοιαν, μήποτε ὡς ἐγκρατὴς τῆς νηὸς, καὶ τοῦ φόρτου σου γένηται, καὶ εἰς δύσορμον ἀκτὴν ἐξωθήσησεν, ἀφ' ἧς ναυάγιον οἱ ἁλόντες ὑφίστανται.

προσκ. — ἐξωθήσειεν.

Leontio Epiſcopo. 451.

Ventis haud ſemper cedere oportet, vir eximie: verùm nonnunquam etiam obiecta in contrarium prora fluctibus & procellis obluctari, ac ventorum impetum propulſare: ne alioqui turbines ingraueſcentes, tum nos à gubernaculis deiiciant, tum nauim in multas partes frangant. Quamobrem graſſanti nunc tempeſtati obſiſte (etiamſi veteratoria & malis artibus ſimulata lenitate te ad peruerſam ſuã ſententiam tanquam ad portum quendam, allicit) ne, ſi naue atque onere tuo potiatur, in importuoſum littus, ex quo, iis, qui capti fuerint, naufragium ſubeundum ſit, te eiiciat.

Τῷ αὐτῷ. υνβ.

Γενέσθω εἰρήνη ἐν ταῖς ἡμέραις μου, ὁ θεοφιλέστατος ἔλεγεν Εζεκίας, οὐκ ἐνδιδοὺς τοῖς πολέμοις, οὐκ ἀφεστὼς τῆς πρεσβείας, ἀλλὰ τὴν μὲν θεῷ προσῆγεν ἱκέτιν, τοῖς δὲ ἐκεῖθεν τὴν ἧτταν ἐζήτει, αὐτοῖς δηλῶν τοῖς κατορθώμασιν, ὡς φίλην κτησάμενος τὴν εἰρήνην, μέχρι παντὸς ἔχειν αὐτὴν ἠντιβόλει, ὅθεν ἀγγέλου χειρὶ τὴν νίκην εἰργάσατο. εἰς βέλη μὲν οὐ χωρῶν, οὐδὲ εἰς κύρσεις πονῶν, εἰς δεήσεις δὲ καὶ λιτὰς τὰς πρὸς θεὸν ἀγρυπνῶν.

πολεμίοις. — οὐχ ὁρῶν. πύρσεις.

Eidem. 452.

Sit pax in diebus meis, dicebat Deo chariſſimus Ezechias: non quòd hoſtibus 4.Re.20.
cederet, aut à precatione abſiſteret: verùm hanc quidem ſupplicem ad Deum adhiberet, hoſtibus autem hac ratione cladẽ quæreret: per ipſas nimirùm res præclarè ac feliciter geſtas illud declarans, quòd cùm amicam pacem adeptus eſſet, eam ad extremum vſque habere ſupplicibus verbis poſtulabat. Vnde etiam Angeli manu victoriam conſecutus eſt, non ad prælium
& tela proficiſcens, verùm ad diuinas preces & ſupplicationes excubans. 4.Re.19.

Θεοδοσίῳ. υνγ.

Η μὲν θεία φύσις ἀκατανόμαστος. ὄνομα δὲ ἐζήτει Ιακὼβ τοῦ παλαίοντος, καὶ ἰσχύειν αὐτὸν κατὰ τῶν παθῶν ἐκδιδάσκοντος, διὰ τῆς τοῦ νεύρου τοῦ μηροῦ ψηλαφήσεως. ἀλλ' ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου. ἀκούει, οὐ τοῦ νόμου εἶναι, οὐδὲ τῶν πρὸ τοῦ νόμου τοῦτο μαθεῖν ἐκπαιδεύοντος. ὀψὲ δὲ καιροῦ, ὅτε ἐλεύσεται τῶν χρόνων τὸ πλήρωμα, καὶ πληθυνθῶσι τῶν ἀνθρώπων τὰ πλημμελήματα, Ιησοῦς ἐνανθρωπήσας κληθήσομαι, ὅπερ σωτὴρ ἑρμηνεύεται.

Theodoſio. 453.

Diuinæ quidem naturæ nullum nomen
imponi poteſt. Iacob autem, eius, qui cum Gene.32.
ipſo luctabatur, ac per nerui fœmoris contrectationem eum vitioſos affectus ſuperare ac frangere docebat, nomen exquirebat. At, Quid quæris nomen meum? (edocentem eum audit) quod nec legis eſt, nec eorum, quorum ætas legem anteceſſit, cognoſcere: verùm ſero tempore, cùm temporum plenitudo venerit, atque hominũ ſcelera magnopere aucta fuerint, Ieſus incarnatus nuncupabor, quod quidem ſer-